νόμους ὑπερορῶ ταῦτα καὶ παρ᾿ αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομί-
12 σασθαι· [12]ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσ-
σεσθαι τὴν τοῦ νεανίσκου ψυχήν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας
ἐτίθετο.
13 [13]Καὶ τούτου δὲ μεταλλάξαντος τὸν τέταρτον ὡσαύτως ἐβασάνι-
14 ζον αἰκιζόμενοι. [14]καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη
Αἱρετὸν μεταλλάσσοντας ὑπ᾿ ἀνθρώπων τὰς ὑπὸ τοῦ θεοῦ προσ-
δοκᾶν ἐλπίδας πάλιν ἀναστήσεσθαι ὑπ᾿ αὐτοῦ· σοὶ μὲν γὰρ ἀνά-
στασις εἰς ζωὴν οὐκ ἔσται.
15 16 [15]Ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκίζοντο. [16]ὁ δὲ πρὸς
αὐτὸν ἰδὼν εἶπεν Ἐξουσίαν ἐν ἀνθρώποις ἔχων φθαρτὸς ὢν ὃ
θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ θεοῦ καταλε-
17 λεῖφθαι· [17]σὺ δὲ καρτέρει καὶ θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος,
ὡς σὲ καὶ τὸ σπέρμα σου βασανιεῖ.
18 [18]Μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων ἀποθνῄσκειν ἔφη
Μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι᾿ ἑαυτοὺς ταῦτα πάσχομεν ἁμαρ-
19 τόντες εἰς τὸν ἑαυτῶν θεόν, ἄξια θαυμασμοῦ γέγονεν· [19]σὺ δὲ
μὴ νομίσῃς ἀθῷος ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας.
20 [20]Ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία,
ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας
21 εὐψύχως ἔφερεν διὰ τὰς ἐπὶ κύριον ἐλπίδας. [21]ἕκαστον δὲ αὐτῶν
παρεκάλει τῇ πατρίῳ φωνῇ γενναίῳ πεπληρωμένη φρονήματι καὶ
τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διεγείρασα λέγουσα πρὸς αὐτούς
22 [22]Οὐκ οἶδ᾿ ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐδὲ ἐγὼ τὸ πνεῦμα
καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ
23 ἐγὼ διερρύθμισα· [23]τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης ὁ πλάσας
ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευρὼν γένεσιν καὶ τὸ πνεῦμα καὶ
τὴν ζωὴν ὑμῖν πάλιν ἀποδίδωσιν μετ᾿ ἐλέους, ὡς νῦν ὑπεροράτε
ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νόμους.
24 [24]Ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν ὀνειδίζουσαν
ὑφορώμενος φωνὴν ἔτι τοῦ νεωτέρου περιόντος οὐ μόνον διὰ
λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι᾿ ὅρκων ἐπίστου ἅμα
πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ τῶν πατρίων
25 καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν. [25]τοῦ δὲ νεανίου μηδαμῶς
προσέχοντος προσκαλεσάμενος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει

11 fin. κομιζεσθαι A† || 12 εκπλησσεσθαι] καταπλ. V† | νεανισκου] -νιου V† || 14 το] τω A pau. | υπ 1°] απο A† | υπο] παρα *VL* || 15] ως δε προσαγαγοντες τον πεμπτον ηκιζοντο V† || 16 φθαρτος ων / ο θελεις ποιεις] tr. A† || 18 ματην] μαλλον A† | αμαρτανοντες *VL* | αξια] pr. διο *L* || 20 θαυμαστη] αγαθη A† || 21 αυτων] των ανθρωπων A† | πεπληρωμενη] -νω A† | θηλυν] ν > AV | λεγ. προς αυτους] και λεγ. V† || 22 διερ(ρ)υθμισα] ν pro μ A† || 24 επιστου] -στουτο *VL* | αμα / πλουτιειν και μακαριστον (sic)] tr. V† | μεταθεμ.] pr. και A† | πατριων] + νομων *VL*